# ΑΡΓΥΡΟΠΟΥΛΕΙΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

## ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ ΤΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ
### ΠΡΟΛΕΓΟΜΕΝΑ ΕΙΣ ΤΑ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ

———

Ἐπειδήπερ ἡμῖν πρόκειται περὶ προγυμνασμάτων εἰπεῖν, ἀναγκαῖον διαλαβεῖν πρῶτον τίς ὁ τούτων πατὴρ καὶ ὅθεν πρὸς τὴν τούτων προήχθημεν συγγραφήν.

Ἔστι τοίνυν πατὴρ τῆς παρούσης τῶν προγυμνασμάτων βίβλου Ἀφθόνιος Ἀντιοχεὺς ὁ Σύρος ὁ Λιβανίου τοῦ Φασγανίου μαθητής. Ἡ δὲ αἰτία ἡ πρὸς τὴν τῶν γυμνασμάτων αὐτὸν ἔνυξε συγγραφὴν ἔστιν αὕτη. Μάρκῳ βασιλεῖ, νομοτριβεῖ τε ὄντι καὶ φιλολογωτάτῳ, φίλος ἦν ἐς τὰ μάλιστα Ἑρμογένης ὁ σοφιστής· ᾧ καὶ χαριζόμενος, αὐτῷ πρότερον αἰτήσαντι ἅπασαν τὴν τῆς ῥητορικῆς τέχνην καὶ δύναμιν ἐν τέσσαρσι βιβλίοις συμπεριλαβὼν παραδέδωκεν, ἅπερ εἰσὶν αἱ καλούμεναι στάσεις, αἱ εὑρέσεις, αἱ ἰδέαι καὶ αἱ μέθοδοι, ἃ καὶ ῥητορικὴν ὠνόμασε, λυσιτελῆ τε οὖσαν καὶ μάλιστα τοῖς περὶ νόμους σπουδάζουσιν. Ἀλλ᾿ ἐπεὶ τὸ τετράβιβλον τουτὶ σύνταγμα, γυμνασίας χάριν συντεθὲν πρὸς τὴν τῶν ῥητόρων τέχνην, δεινὸν ἦν πρὸς τοὺς ἄρτι τῶν νέων ἐντυγχάνοντας αὐτῷ καὶ ὡςπερεί τινος εἰςαγωγῆς δεόμενον, αὐτὸς οὗτος καὶ αὖθις ὁ δηλωθεὶς Ἑρμογένης ἕτερα συνέταξε προγυμνάσματα, τὸν ἀριθμὸν ὄντα δύο καὶ δέκα, πρὸς τοῦτο συντείνοντα, ἅ καί εἰσι ταῦτα, μῦθος, διήγημα, χρεία, γνώμη, ἀνασκευή, κοινὸς τόπος, ἐγκώμιον, σύγκρισις, ἠθοποιία, ἔκφρασις, θέσις καὶ

Περιλαμβάνεται ἐν τῷ Παλατίνῳ κώδικι 358 τῆς βιβλιοθήκης τοῦ Βατικανοῦ, φ. 228α - 229β, αἰῶνος ιε΄.

1. πειδήπερ   6. αἴτια ἡ   8 ταμάλιστα ἐκ τοῦ τὸ πρῶτον γραφέντος τὰμάλιστα   11. εἰσιν   12. τὲ   13. λλ᾿   16 ὥς περεὶ   δεόμενος διωρθωμένης ἄνωθεν τῆς καταλήξεως εἰς ον   18. καίδεκα   19. καὶ εἰσὶ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

εἰςφορὰ τοῦ νόμου. Ἐπεὶ δὲ ταῦτα ἀσαφῆ πως ἐδόκουν καὶ δύςληπτα, ἅτε ὄντα ἀπαραδειγμάτιστα, ἕτερα ἀντὶ τούτων ἐξέθεντο ἄλλοι τε πολλοὶ τῶν ῥητόρων καὶ δὴ καὶ ὁ παρὼν σοφιστὴς Ἀφθόνιος, οὗ καὶ μᾶλλον προὐκρίθησαν ἀναγινώσκεσθαι ὡς σαφέστερα. Δώδεκα δὲ ὄντα, ὡς ἔφημεν, ἅπερ ὁ Ἑρμογένης συνέταξεν, οὗτος εἰς δεκατέσσαρα ταῦτα διεῖλε. Ἐκείνου μὲν γὰρ ἐν μιᾷ καὶ τῇ αὐτῇ διδασκαλίᾳ τό τε ἐγκώμιον καὶ τὸν ψόγον διδάσκοντος, οὗτος ἰδίαν ἀπένειμεν ἑκάστῳ διδασκαλίαν, ἰδίαν μὲν ἐγκωμίῳ καὶ αὖ ἰδίαν ψόγῳ· καὶ περὶ ἀνασκευῆς δὲ καὶ κατασκευῆς ὁμοίως.

Ἀλλ᾿ ἐπειδὴ τόν τε πατέρα τῆς βίβλου καὶ τὴν αἰτίαν ἀποδεδώκαμεν, φέρε καὶ περὶ τῶν λοιπῶν διέλθωμεν. Καὶ πρῶτον εἴπωμεν διὰ τί τε προγυμνάσματα καλοῦνται καὶ τίς ὅρος προγυμνάσματος καὶ γυμνάσματος. Γυμνάσματα μὲν οὖν λέγονται κυ-
φ 228s ρίως αἱ τῶν πολιτικῶν ὑποθέσεων || μελέται τῶν πλασματικῶν, ὡς δι᾿ αὐτῶν εἰς τοὺς τῶν ἀληθινῶν ὑποθέσεων λόγους γυμναζομένων ἡμῶν. Ἐπεὶ οὖν αἱ τῶν πλασματικῶν μελέται γυμνάσματα λέγονται, εὐλόγως τὰ Ἀφθονίου προγυμνάσματα λέγονται ὡς πρὸ τῶν γυμνασμάτων ἐκείνων ὄντα· διὰ τούτων γὰρ πάλιν εἰς τὰς ἀληθινὰς τῶν ὑποθέσεων γυμναζόμεθα. Ὥςτε γυμνάσματα μὲν καὶ ἄσκησις ἀληθὴς καὶ παίδευσις τῆς ῥητορικῆς τὸ τοῦ Ἑρμογένους τετράβιβλον, τὰ δὲ τοῦ Ἀφθονίου εἰςαγωγή τίς εἰσι πρὸς ἐκεῖνο καὶ οἷον ἀνάπτυξις βραχεῖα καὶ ἐθισμὸς, ἀλείφοντα καὶ διεγείροντα τοὺς νέους πρὸς τὴν ἐξέτασιν ἐκείνου. Τὸ *γυμνάζεσθαι* κυρίως ἐστὶ τὸ γυμνὸν ἀγωνίζεσθαι καὶ ἐκμανθάνειν εἴτε πολεμικὴν ἄσκησιν, εἴτε ἁμιλλητηρίους ἀγῶνας, δίαυλον τυχὸν ἢ παγκράτιον ἢ πυγμὴν ἢ πάλην· ἐκεῖθεν γὰρ εἴληπται τὸ γυμνάζεσθαι, καταχρηστικῶς δὲ ἐκφέρεται καὶ ἐπὶ πάσης λογικῆς παιδείας καὶ πρακτικῆς. Γυμνάζομαι οὖν οὐ τὸ γυμνὸς διάπειραν ποιοῦμαι· τοῦτο γὰρ ἡ κυριολεξία ἐστίν· ἀλλὰ τὸ ἁπλῶς ἐκπαιδεύεσθαί τι.

3. τὲ 12. διατί 15. ἀληθεινῶν 19. ἀληθεινὰς ὥςτε 21. τις εἰσὶ 22. βραχεία 23. ὁ γυμνάζεσθαι 26. πάλιν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ἔλθωμεν δὲ καὶ ἐπὶ τὸν ὅρον. Ἰστέον μέντοι, ὅτι τὸ *προγύμνασμα* γενικόν ἐστιν ὄνομα, διαιρούμενον εἰς τὰ καθ᾽ ἑκάστην ἐπιστήμην καὶ τέχνην προγυμνάσματα. Οὐκοῦν πρῶτον τὸν τοῦ καθολικοῦ προγυμνάσματος ὅρον εἴπωμεν. Ἔστι τοίνυν προγύμνασμα ἄσκησις μετρίων πρὸς μειζόνων πραγμάτων ἐπίρρωσιν, τὸ μὲν *ἄσκησις* ἀντὶ τοῦ γένους τιθέντες, τὰ δὲ λοιπὰ ἀντὶ διαφορῶν χωριζουσῶν τὸ καθόλου προγύμνασμα ἐπὶ τῶν λοιπῶν ἀσκήσεων τῶν μὴ ἐν γυμνάσμασιν. Ὁ δὲ τοῦ ῥητορικοῦ προγυμνάσματος ὅρος εἰςαγωγικὴ τριβὴ διὰ λόγου τῶν κατὰ ῥητορικὴν εἰδῶν ἢ μερῶν, χρήσιμά τινα προασκουμένη. Εἴληπται οὖν κἀνταῦθα τὸ *τριβὴ* ὄνομα ἀντὶ γένους, τὰ δὲ λοιπὰ ἀντὶ συστατικῶν διαφορῶν. Εἴδη δὲ ῥητορικῆς λέγοιτ᾽ ἂν τό τε συμβουλευτικὸν καὶ τὰ λοιπὰ εἴδη καὶ μέρη τούτων ἢ τὰ τοῦ πολιτικοῦ λόγου· τὸ δὲ *χρήσιμά τινα* εἶπε, διότι οὐκ εἰς πάντα προασκεῖ ἡμᾶς. Ἦ γὰρ ἂν ἤρκει τὰ προγυμνάσματα μόνον μαθοῦσι τῶν κατὰ ῥητορικὴν πραγμάτων τῆς περὶ τὰς διαιρέσεις ἑκάστου εἴδους ἀπηλλάχθαι φιλοπονίας. Τὸ δὲ *προασκουμένου* ἀντὶ τοῦ *προασκοῦσα*.

Ἔλθωμεν δὴ λοιπὸν καὶ ἐπὶ τὴν τῶν πολυθρυλήτων κεφαλαίων ζήτησιν, ὀκτὼ κατὰ τὸν ἀριθμὸν τυγχανόντων. Ἔστι δὲ ταῦτα ὁ σκοπὸς, τὸ χρήσιμον, τὸ γνήσιον, ἡ αἰτία τῆς ἐπιγραφῆς, [ἡ τάξις τῆς ἀναγνώσεως], ἡ εἰς τὰ κεφάλαια || διαίρεσις, ὁ διδα- φ.229ᵛ
σκαλικὸς τρόπος, ἡ ὑπό τινος ἀναφορά. Σκοπὸς τοίνυν ἐστὶ τῷ Ἀφθονίῳ τῇ τῶν προγυμνασμάτων ὑποθέσει προασκῆσαι καὶ προεθίσαι ἡμᾶς εἰς τὰ κατὰ τὴν ῥητορικὴν μέρη καὶ εἴδη, ἔτι δὲ καὶ τὰ τοῦ πολιτικοῦ λόγου μέρη. Πῶς δὲ τῶν δεκατεσσάρων ὑπάρχει εἷς ὁ σκοπός; Τὰ ὑπὸ μίαν τέχνωσιν ἢ διδασκαλίαν ἢ ὑπὸ εἶδος ἢ γένος ταττόμενα ἕνα ἔχουσι καὶ τὸν σκοπὸν, κἂν πέφυκε μυρία. Τὸ δὲ χρήσιμον ἀπὸ τοῦ σκοποῦ δῆλον· χρησιμεύει γὰρ ἡμῖν εἴς τε

1. στέον 3. τοῦ τοῦ 9. εἰσαγωγικὴ **ἐκ τοῦ τὸ πρῶτον γραφέντος** εἰσαγωγὴ 15. ἤρκη **ἐκ τοῦ τὸ πρῶτον γραφέντος** ἤρτη 18. πολυθρηλλήτων 21. ἡ τάξις τῆς ἀναγνώσεως **προσέθηκα ἐκ τῶν κατωτέρω, ἐν σ.** 178, 8 27. ταττόμενα **ἐκ τοῦ τὸ πρῶτον γραφέντος** τὰττόμενα 27-28. ὁ δὲ



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὰ κατὰ ῥητορικὴν μέρη καὶ εἴδη, ἔτι δὲ καὶ εἰς τὰ τοῦ πολιτικοῦ λόγου μέρη. Τί δέ; γνήσιον Ἀφθονίου τὸ παρὸν βιβλίον; Δῆλον ἔκ τε τῆς πάντων συμφωνίας καὶ ἐκ τοῦ παρὰ μηδενὸς τῶν πρὸ ἡμῶν νοθείας τὸ τοιοῦτον ἁλῶναι γραφῇ, ἔτι δὲ καὶ ἐκ τοῦ εἰς αὐτὸ ἐπιφερομένου ἐπιγράμματος·

*Εἴ σοι ῥητορικῆς, φίλος, πόθος ἔμπεσε θυμῷ,*
*μή σε γυμνασίη Ἀφθονίου λάθη.*

Τάξις τῆς ἀναγνώσεως τῶν προγυμνασμάτων πρὸ τῶν στάσεων.

Πέμπτον κεφάλαιόν ἐστιν ἡ αἰτία τῆς ἐπιγραφῆς, ἐν ᾧ ζητῆσαι ὀφείλομεν ὁποῖόν τί ἐστι τὸ *Ἀφθόνιος* ὄνομα, εἶτα τί βούλεται σημαίνειν ἐν τῇ παρούσῃ ἐπιγραφῇ τὸ *σοφιστὴς* ὄνομα. Τὸ μὲν οὖν *Ἀφθόνιος* ὄνομα ἔστι μὲν κύριον καὶ παράγωγον, τὰ μάλιστα δὲ οἰκειότατον τῷ ῥήτορι πέφυκε τὸ ἀφθόνως, ἤτοι πλουσίως, τὰ τοῦ λόγου ῥεῖθρα προχέειν τό τε πάθους ἐκτός, δῆλα δὴ φθόνου, ἐπαντλεῖν τοῖς μαθητευομένοις τῆς διδασκαλίας τὰ νάματα. Τὸ τοίνυν *σοφιστὴς* μετὰ τῶν ἄλλων αὐτοῦ σημαινομένων σημαίνει καὶ τὸν ἐν πλάσμασιν ἐγγυμναζόμενον. Ῥήτωρ μὲν γάρ ἐστιν ὁ τοῖς ἀληθινοῖς ἀγῶσιν ἐγγυμναζόμενος καὶ ἐπὶ δικαστηρίου, ὡς ὁ Δημοσθένης· σοφιστὴς δὲ ὁ πλασματογράφος καὶ μὴ ἐπὶ δικαστηρίου ἀγωνιζόμενος, οἷος ἦν ὁ Λιβάνιος. Ὁ τοίνυν Ἀφθόνιος λέγεται σοφιστὴς ἢ ὡς σοφίζων τοὺς φοιτητὰς τῷ τὰ τῆς ῥητορικῆς τέχνης αὐτοῖς ἀναπτύσσειν ἢ ὡς πλασματογράφος ὢν καὶ μὴ ἐπὶ δικαστηρίου ἀγωνιζόμενος, οἷος ἦν ὁ Λιβάνιος. *Προγυμνάσματα* δὲ εἶπε μόνον, μὴ προσθεὶς *εἰς τὴν ῥητορικὴν*, οὐκ ἀλόγως. Ὥσπερ γὰρ ὁ Πορφύριος, γράφων Εἰσαγωγήν, *Πορφυρίου Εἰσαγωγὴ* ἐπέγραψε, μὴ προσθεὶς *εἰς φιλοσοφίαν*, ἅτε δὴ τοῦ τοιούτου καὶ σιωπηρῶς διὰ τὸ ὑπερέχον τῆς φιλοσοφίας τὸ πρὸς τὰς ἄλλας

**4.** νωθείας ἀλῶναι **5.** γράμματος **6.** ἔμπεσσο **9.** κεφάλαιον ἐστὶν **10.** ὁποῖον τὶ **12-13.** ταμάλιστα **14.** δηλαδὴ **15.** φθόνος **20.** δικαστήριον **22.** ἀναπτύσειν **23.** περιγύμνάσματα

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἐπιστήμας προςυπακουομένου, οὕτω καὶ ὁ Ἀφθόνιος εἰς τὴν μεγίστην καὶ βιωφελεστέραν τῶν τεχνῶν γυμνασίαν ἀορίστως τὸ βιβλίον Προγυμνάσματα ἔγραψε. *Προγυμνάσματα* δὲ καὶ οὐχὶ *Περὶ* ||*προγυμνασμάτων* τὸ βιβλίον ἐπέγραψεν, ὅτι σύνηθές ἐστι τὸ 29α ὄνομα περὶ οὗ ὁ λόγος προγράφειν τοῦ συγγράμματος, ὥςπερ ὁ περὶ Θεμιστοκλέους λόγος Θεμιστοκλῆς ἐπιγέγραπται Πλάτωνι καὶ ὁ περὶ πολιτείας Πολιτεία.

Ἡ δὲ εἰς τὰ κεφάλαια διαίρεσις; Διαίρεσις οὖν ἐνταῦθα ἡ τῶν ἰδίων προγυμνασμάτων κεφαλαίων καὶ ἄλλως ἡ εἰς τὰ κεφάλαια διαίρεσις τέμνει τὸ παρὸν βιβλίον εἴς τε τὰς πρὸς τὸ συμβουλευτικὸν εἶδος γυμναζούσας ἡμᾶς γυμνασίας καὶ εἰς τὰς πρὸς τὸ δικανικὸν καὶ εἰς τὰς πρὸς τὸ πανηγυρικὸν καὶ πάλιν εἴς τε τὰς προοιμίοις ἀναλογούσας καὶ εἰς τὰς σωζούσας εἰκόνας τῆς διηγήσεως, ἔτι δὲ καὶ εἰς τὰς τῶν ἀγώνων καὶ ἐπιλόγων χρείας ἀναπληρούσας.

Ἔλθωμεν καὶ ἐπὶ τὸν διδασκαλικὸν τρόπον. Διδασκαλικῶν οὖν τρόπων τεσσάρων ὄντων, διαιρετικοῦ, ὁριστικοῦ, ἀποδεικτικοῦ καὶ ἀναλυτικοῦ, δυσὶ μόνον χρῆται ὁ Ἀφθόνιος ἐν τῷ παρόντι συγγράμματι, τῷ τε ὁριστικῷ καὶ τῷ διαιρετικῷ, τῷ μὲν διαιρετικῷ, ἡνίκα λέγει, τῶν συγγραμμάτων ἕκαστον λέγων, ὅτι *Τοῦ μύθου τὸ μέν ἐστι λογικόν, τὸ δὲ ἠθικόν, τὸ δὲ μικτόν*, τῷ δὲ ὁριστικῷ χρῆται, ἡνίκα ὁρίζεται τὰ προγυμνάσματα, λέγων, ὅτι *Ἔστι δὲ μῦθος λόγος ψευδὴς* καὶ τὰ ἑξῆς καὶ *Διήγημά ἐστιν ἔκθεσις πράγματος* καὶ τὰ ἑξῆς. Τρόπῳ διδασκαλίας ἐνταῦθα Ἀφθόνιος κέχρηται

1. Τὸ προσυπακουομένου ἔχει τόνον καὶ ἐπὶ τοῦ όμ διαγραφέντα, ἅτε τοῦ βιβλιογράφου σκοποῦντος τὸ πρῶτον νὰ γράψῃ προσυπακουόμενον 2. τεχνῶν τεχνολογία γῦμνασίαν τοῦ γ τοῦ γῦμνασίαν μεταγραφέντος ἐκ τοῦ τὸ πρῶτον γραφέντος τελικοῦ ν τοῦ τεχνολογίαν 4. Ἐν τῷ προγυμνασμάτων τὸ προ προςετέθη ἐν τῇ ᾤᾳ ἀμέσως πρὸ τοῦ γυμνασμάτων ἐν ἀρχῇ τοῦ στίχου 7. Τὸ ἡ πρὸ τοῦ δὲ λείπει ϊαίρεσις οὖν 15. τρόπων 17. Ἀντὶ τοῦ ἀφθόνιος εἶχεν ἀρχίσει γράφων ἀχθ συγγράμ^μ^ατι 23. ρόπω

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

σαφεῖ καὶ προβιβάζοντι τοὺς μυεῖσθαι μέλλοντας πρός τινα τελεώτερα ἐκ τῶν ἀτελεστέρων.

Ὑπό τι μέρος ἀναφορά. Ἀναφέρεσθαι δέ φασι τὸ παρὸν βιβλίον οὔτε εἰς τὸ θεωρητικὸν, ἐπεὶ μηδὲ φυσιολογικὸν ἢ θεολογικὸν ἢ μαθητικεύεται, ἀλλ᾿ οὐδὲ εἰς τὸ πρᾶγμα· οὐδὲ γὰρ διδάσκει πῶς δεῖ κοσμεῖν τὰ ἤθη, ἀλλ᾿ εἰς τὸ μέσον τούτων, τὸ μεθοδικὸν καὶ ὀργανικόν· τοῦτο δέ ἐστι τὸ λογικόν· κανόνας γάρ φασι καὶ μεθόδους διδάσκει.

Τινὲς δὲ καὶ τὸν χαρακτῆρα ζητοῦσι τοῦ παρόντος βιβλίου. Χαρακτῆρες δὲ εἰσι τρεῖς, ἁδρὸς, ταπεινὸς, μέσος. Ἁδρὸς μὲν οὖν ἐστιν ὁ κομπηρὰς ἔχων λέξεις, νοῦν δὲ ταπεινὸν, ὡς ἔχει τὰ τοῦ Λυκόφρονος· ταπεινὸς δὲ ὁ νοῦν μὲν ἔχων ὑψηλὸν, λέξεις δὲ ταπεινὰς, ὡς τὰ τοῦ Θεολόγου· μέσος δὲ ὁ μήτε νοῦν ὑψηλὸν ἔχων μήτε λέξεις κομπηρὰς, ἀλλ᾿ ἀμφότερα μέτρια, οἷά ἐστιν ὡς ἐπὶ τὸ πλεῖστον τὰ τοῦ Χρυσοστόμου. Ὁρᾶται τοίνυν ὁ Ἀφθόνιος οὐχ ἑνὶ μόνῳ χαρακτῆρι δι᾿ ὅλου, ἀλλὰ καὶ τοῖς τρισὶν [χρησάμενος]· πῇ μὲν γὰρ τῷ ἁδρῷ χρῆται, ὡς ἐν τῇ ἠθοποιίᾳ, πῇ δὲ τῷ ἀνειμένῳ καὶ ταπεινῷ, ὡς ἐν τῇ ἐκφράσει· διὸ καὶ αὐτὸς ἐκεῖσε λέγει δεῖν τὸν χαρακτῆρα ἀνειμένον ἐκφέρειν· πῇ δὲ καὶ τῷ μέσῳ χρῆται, ὡς ἔν τισι τῶν ἄλλων.

---

4. μὴδὲ 9. ινὲς 10. ἁδρὸς ἐκ τοῦ τὸ πρῶτον γροφέντος
λ
ἀνδρὸς ἀδρὸς 14. οἷα ἐστὶν 16. διο' χρησάμενος προςέθηκα 17. ἀδρῶ χρᾶται 19. ἀναμένον ἐφέρεῖν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007